Κεφάλαιο Β, 39

Κείμενο

( Κυρία πρόθεση: Υπεροχή Αθηναίων έναντι Λακεδαιμονίων στην πολεμική τέχνη).

[39]*Διαφέρομεν δὲ καὶ ταῖς τῶν πολεμικῶν μελέταις τῶν ἐναντίων τοῖσδε.*

*Τήν τε γὰρ πόλιν κοινὴν παρέχομεν,*

*καὶ οὐκ ἔστιν ὅτε ξενηλασίαις ἀπείργομέν τινα ἢ μαθήματος ἢ θεάματος,*

*ὃ μὴ κρυφθὲν ἄν τις τῶν πολεμίων ἰδὼν ὠφεληθείη,*

*πιστεύοντες οὐ ταῖς παρασκευαῖς τὸ πλέον καὶ ἀπάταις ἢ τῷ ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα εὐψύχῳ·*

*καὶ ἐν ταῖς παιδείαις οἱ μὲν ἐπιπόνῳ ἀσκήσει εὐθὺς νέοι ὄντες τὸ ἀνδρεῖον μετέρχονται,*

*ἡμεῖς δὲ ἀνειμένως διαιτώμενοι οὐδὲν ἧσσον ἐπὶ τοὺς ἰσοπαλεῖς κινδύνους χωροῦμεν.*

*Τεκμήριον δέ (τούτων ἔστι τόδε)·*

*οὔτε γάρ Λακεδαιμόνιοι καθ᾽ ἑαυτούς,*

*μεθ' ἁπάντων (τῶν συμμάχων) δὲ ἐς τὴν γῆν ἡμῶν στρατεύουσι,*

*τήν τε τῶν πέλας (ἡμεῖς) αὐτοὶ ἐπελθόντες οὐ χαλεπῶς ἐν τῇ ἀλλοτρίᾳ*

*τοὺς περὶ τῶν οἰκείων ἀμυνομένους μαχόμενοι τὰ πλείω κρατοῦμεν.*

*Ἀθρόᾳ τε τῇ δυνάμει ἡμῶν οὐδείς πω πολέμιος ἐνέτυχε*

*διὰ τὴν τοῦ ναυτικοῦ τε ἅμα ἐπιμέλειαν*

*καὶ (διά) τὴν ἐν τῇ γῇ ἐπὶ πολλὰ ἡμῶν αὐτῶν ἐπίπεμψιν (ἀνδρῶν)·*

*ἢν δέ που μορίῳ τινὶ προσμείξωσι,*

*κρατήσαντές τέ τινας ἡμῶν πάντας αὐχοῦσιν ἀπεῶσθαι (ἡμᾶς) καὶ*

*νικηθέντες (φασίν) ὑφ' ἁπάντων ἡσσῆσθαι.*

*Καίτοι εἰ ῥᾳθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ καὶ*

*μὴ μετὰ νόμων τὸ πλέον ἢ τρόπων ἀνδρείας ἐθέλομεν κινδυνεύειν,*

*περιγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν τε καὶ*

*ἐς αὐτὰ ἐλθοῦσι μὴ ἀτολμοτέρους τῶν αἰεὶ μοχθούντων φαίνεσθαι,*

*καὶ ἔν τε τούτοις τὴν πόλιν ἀξίαν εἶναι θαυμάζεσθαι καὶ ἔτι ἐν ἄλλοις.*